δὲ καὶ βαθὺν πώγωνα θρέψαι καὶ ἐπὶ τῆς ὄψεως φακοὺς ἐσχηκέναι, γυναῖκα δὲ γῆμαι πρώτην Μελιτώ, δευτέραν δὲ Χοιρίλην. καὶ υἱοὺς κατέλιπεν τρεῖς, Μνησαρχίδην πρεσβύτερον ἔμπορον, δεύτερον δὲ Μνησίλοχον, ὑποκριτήν, νεώτερον δὲ Εὐριπίδην, ὃς ἐδίδαξε τοῦ πατρὸς ἔνια δράματα. ἤρξατο δὲ διδάσκειν ἐπὶ Καλλίου ἄρχοντος κατὰ Ὀλυμπιάδα ὀγδοηκοστὴν πρώτην. πρῶτον δὲ ἐδίδαξε τὰς Πελιάδας ἔτει πρώτῳ, ὅτε καὶ τρίτος ἐγένετο. τὰ πάντα δ' ἦν αὐτῷ δράματα ϟβ'. σώζεται δὲ οή. τούτων νοθεύεται τρία, Τέννης, Ῥαδάμανθυς, Πειρίθους. ἐτελεύτησε δέ, ὥς φησι Φιλόχορος, ὑπὲρ τὰ ἑβδομήκοντα ἔτη γεγονώς, ὡς δὲ Ἐρατοσθένης οέ, καὶ ἐν Μακεδονίᾳ ἐτάφη. κενοτάφιον δὲ αὐτοῦ ἐν Ἀθήνησιν ἐγένετο, καὶ ἐπίγραμμα ἐπεγέγραπτο Θουκυδίδου τοῦ ἱστοριογράφου ποιήσαντος ἢ Τιμοθέου τοῦ μελοποιοῦ·

μνῆμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου, ὀστέα δ' ἴσχει
 γῆ Μακεδών· ᾗ γὰρ δέξατο τέρμα βίου.
πατρὶς δ' Ἑλλάδος Ἑλλὰς Ἀθῆναι. πλεῖστα δὲ Μούσας
 τέρψας ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

---